Γεράσιμος Β'. — 1674, ἰνδ. ιβ', μαρτίου 13, ὑπόμνημα Φιλίππων καὶ Δράμας, Ζιχνῶν καὶ Νευροκόπου Νεοφύτου, ἀντὶ τοῦ παραιτηθέντος Γερμανοῦ. Μαρτίου 14, ὑπόμνημα Βιζύης Γερασίμου, ἀντὶ τοῦ ἀποθανόντος Κοσμᾶ. Κατὰ μάρτιον, καθαίρεσις Δρύστρας Μακαρίου δι' ἀποστασίαν τῆς ἐκκλησίας. Μαρτίου 21, ὑπόμνημα Δρύστρας Διονυσίου. (ἄνευ ἡμερομηνίας) καθαίρεσις Παλαιῶν Πατρῶν Δανιήλ. Ἀπριλίου 1, ὑπόμνημα Παλαιῶν Πατρῶν Παρθενίου, ἀντὶ τοῦ καθαιρεθέντος Δανιήλ. Κατ' ἰούλιον, καθαίρεσις Λακεδαιμονίας Θεοδωρήτου. Γουλίου 14, ὑπόμνημα Λακεδαιμονίας Κυρίλλου, ἀντὶ τοῦ καθαιρεθέντος Θεοδωρήτου. Ἰουλίου 24, ὑπόμνημα μητροπολίτου Εὐχαΐτων Ἰωσήφ, ἀντὶ τοῦ μετατεθέντος εἰς τὴν μητρόπολιν Παλαιῶν Πατρῶν Παρθενίου. Αὐγούστου 5, ὑπόμνημα Βάρνης Μακαρίου, ἀντὶ τοῦ ἀποθανόντος Μητροφάνους. Κατ' αὔγουστον, ὑπόμνημα ἀρχιεπισκόπου Καρπάθου Μακαρίου, ἀντὶ τοῦ ἀποθανόντος Λεοντίου.

Γεράσιμος Β'. — 1674, ἰνδ. ιγ', κατ' ὀκτώβριον, καθαίρεσις Καισαρείας Καππαδοκίας Γρηγορίου. Ὀκτωβρίου 5, ὑπόμνημα Καισαρείας Γερμανοῦ. Κατ' ὀκτώβριον, ὑπόμνημα Λακεδαιμονίας Ἰωάσαφ, ἀντὶ τοῦ καθαιρεθέντος Θεοδωρήτου.

Παρθένιος Δ' τὸ ε'. — 1675, ἰνδ. ιγ'. Κατὰ μάρτιον, ἀθώωσις τοῦ πρῴην ἀρχιεπισκόπου Τζίας καὶ Θερμίων Γερμανοῦ, ἐπὶ τὸ ἀναλαβεῖν τὴν προεδρικῶς δοθεῖσαν ἀρχιεπισκοπὴν τῷ ἀποβιώσαντι πατριάρχῃ Ἰωαννικίῳ. Ἀπριλίου 19, ὑπόμνημα ἐπισκόπου Σκύρου τῆς μητροπόλεως Ἀθηνῶν εἰς τὸν Μεθόδιον, ἀντὶ τοῦ ἀποθανόντος Θεοδοσίου. Ἀπριλίου 29, ὑπόμνημα ἐπισκόπου Μυριοφύτου Θεοδοσίου, ἀντὶ τοῦ φυγόντος Νεοφύτου. Κατ' ἀπρίλιον, ὑπόμνημα Λευκάδος καὶ Ἁγίας Μαύρας Θεοκλήτου, ἀντὶ τοῦ καθαιρεθέντος φυγάδος Εὐθυμίου. Κατὰ μάϊον, σιγίλλιον περὶ τοῦ ἐν Μήλῳ μοναστηρίου, τοῦ Νικολέζη Χρυσούλα, σταυροπηγίου γεγονότος. Κατὰ μάϊον, σι-